θεὸς αὐτῶν ὑπερασπιεῖ αὐτῶν; καὶ τίς θεὸς εἰ μὴ Ναβουχοδονο-
σορ; οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ καὶ ἐξολεθρεύσει αὐτοὺς
ἀπὸ προσώπου τῆς γῆς, καὶ οὐ ῥύσεται αὐτοὺς ὁ θεὸς αὐτῶν·
3 [3]ἀλλ᾽ ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐτοὺς ὡς ἄνθρωπον ἕνα,
4 καὶ οὐχ ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν. [4]κατακαύσομεν
γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὄρη αὐτῶν μεθυσθήσεται ἐν τῷ αἵ-
ματι αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται τῶν νεκρῶν αὐτῶν,
καὶ οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον
ἡμῶν, ἀλλὰ ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βασιλεὺς Ναβουχοδονο-
σορ ὁ κύριος πάσης τῆς γῆς· εἶπεν γάρ, οὐ ματαιωθήσεται τὰ
5 ῥήματα τῶν λόγων αὐτοῦ. [5]σὺ δέ, Αχιωρ μισθωτὲ τοῦ Αμμων, ὃς
ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου, οὐκ ὄψει
ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης, ἕως οὗ ἐκδικήσω
6 τὸ γένος τῶν ἐξ Αἰγύπτου· [6]καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς
στρατιᾶς μου καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου,
7 καὶ πεσῇ ἐν τοῖς τραυματίαις αὐτῶν, ὅταν ἐπιστρέψω. [7]καὶ ἀπο-
καταστήσουσίν σε οἱ δοῦλοί μου εἰς τὴν ὀρεινὴν καὶ θήσουσίν σε
8 ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων, [8]καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξ-
9 ολεθρευθῇς μετ᾽ αὐτῶν. [9]καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ
συλλημφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον· ἐλάλησα, καὶ
10 οὐδὲν διαπεσεῖται τῶν ῥημάτων μου. — [10]καὶ προσέταξεν Ολοφέρ-
νης τοῖς δούλοις αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ αὐτοῦ,
συλλαβεῖν τὸν Αχιωρ καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς Βαιτυλουα καὶ
11 παραδοῦναι εἰς χεῖρας υἱῶν Ισραηλ. [11]καὶ συνέλαβον αὐτὸν οἱ δοῦ-
λοι αὐτοῦ καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ πεδίον
καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινὴν καὶ παρεγένοντο
12 ἐπὶ τὰς πηγάς, αἳ ἦσαν ὑποκάτω Βαιτυλουα. [12]καὶ ὡς εἶδαν αὐτοὺς
οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἀνέλαβον τὰ
ὅπλα αὐτῶν καὶ ἀπῆλθον ἔξω τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ
ὄρους, καὶ πᾶς ἀνὴρ σφενδονήτης διεκράτησαν τὴν ἀνάβασιν αὐ-
13 τῶν καὶ ἔβαλλον ἐν λίθοις ἐπ᾽ αὐτούς. [13]καὶ ὑποδύσαντες ὑποκάτω
τοῦ ὄρους ἔδησαν τὸν Αχιωρ καὶ ἀφῆκαν ἐρριμμένον ὑπὸ τὴν ῥί-
14 ζαν τοῦ ὄρους καὶ ἀπῴχοντο πρὸς τὸν κύριον αὐτῶν. [14]καταβάν-

2 αυτων 1⁰ > A | θεος 2⁰] pr. ο BA | ουτος] αυτος S† | αποστελει] pr. εξ S† || 3 παταξομεν] εξολεθρευσωμεν A(†) || 4 εν αυτοις > S 58 | ορη] ορια B† | μεθυσθησονται A | πληρωθησεται (compl., non A, -σονται)] πλησθησεται S† | των νεκρων αυτων] των > B, αυτων > S† | αντιστησεται] απαντησ. S† | των ποδων] του -δος S† | προσωπον] + των ποδων (sic) A† | αλλα] αλλ B† | ο βασ./ναβουχ.] tr. S† | ο ult. > B† | των λογων] του στοματος *SL*† || 5 ετι] > S†, post μου tr. 58† || 6 επιστρεψωσιν B*† || 7 σε ult. > S† || 9 συλλημφθ.] συλ > BS || 10 εν τη σκ. αυτου] αυτω S† | βαιτυλουα hic et in seq.: cf. 4 6 | παραδουναι] + αυτον S† || 11 αυτον 2⁰ > S | επι] εις S || 12 απηλθον] επ. BS†, -θεν A†